## ΤΟΥ ΤΙΜΙΩΤΑΤΟΥ ΔΙΚΑΙΟΦΥΛΑΚΟΣ ΤΗΣ ΜΕΓΑΛΗΣ ΕΚΚΛΗΣΙΑΣ ΚΥΡΙΟΥ ΘΕΟΔΩΡΟΥ ΤΟΥ ΑΓΑΛΛΙΑΝΟΥ ΑΝΑΣΚΕΥΗ ΤΟΥ ΥΠΕΡ ΤΗΣ ΔΟΞΗΣ ΛΑΤΙΝΩΝ ΒΙΒΛΙΟΥ ΙΩΑΝΝΟΥ ΤΟΥ ΑΡΓΥΡΟΠΟΥΛΟΥ

Χάρις πολλὴ τῷ πάντα ἀρίστῳ καὶ σοφῷ Ἀργυροπούλῳ, ὅτι καὶ τοῦ δέους ἡμᾶς ἀπήλλαξεν ἐμφανίσας ἐν οἷς πρὸς τὸν θαυμάσιον μέγαν δοῦκαν γράφει τὸ τῆς ῥωμαϊκῆς ἐκκλησίας φρόνημα, ὅπως τε συμβήσεται τῷ νῷ καὶ τίνι τρόπῳ συνᾴσεται τῇ τῆς Ἀνατολῆς ἐκκλησίᾳ ἐν τῷ περὶ τῆς ἐκπορεύσεως τοῦ ἁγίου Πνεύματος, ὥστε καὶ τὸν υἱὸν φρονεῖσθαι καὶ κηρύττεσθαι ἀρχὴν καὶ αἰτίαν τοῦ ἁγίου Πνεύματος ζητήματι, ὡς αὕτη διδάσκει, ἐκ τούτου μόνου λαμβάνων ὡς ὁμολογούμενον αὐτὸ, καίτοι πολλοῖς καὶ γενναίοις ἀντιλεγόμενον καὶ ἐλεγχόμενον λόγοις ὑπὸ πολλῶν τῶν ἐν ταῖς τῆς Ἀνατολῆς ἐκκλησίαις οὐχ ἧττον ἐν σοφίᾳ ἢ ἁγιωσύνῃ διαλαμψάντων, τὰ δὲ τῶν ἁγίων ἕλκων καὶ πρὸς τὸν τοιοῦτον νοῦν μεταρρυθμίζων καὶ ταῦτα πρὸς τοιοῦτον καὶ τηλικοῦτον αὐτὰ γράφων ἄνδρα, ᾧ πολὺ μέτεστι τῆς ἐν τοῖς τοιούτοις γνώσεως, ὡς καὶ αὐτὸς μαρτυρεῖ, καταγνοὺς, ὡς οἶμαι, οὐχ ὅτι γε

**Ἐξεδόθη τὸ πρῶτον ὑπὸ τοῦ Δοσιθέου Ἱεροσολύμων ἐν Τόμῳ ἀγάπης. Ἐν Γιασίῳ τῆς Μολδοβλαχίας. 1698 σ. 333 - 366 (Δ), ἐξ αὐτοῦ δ' ἀνετυπώθη ὑπὸ τοῦ Migne ἐν Ἑλληνικῆς Πατρολογίας Τόμ. ΡΝΗ' σ. 1011 - 1052 (Μ). Κώδικες δέν μοι εἶνε γνωστοί.**

**Διαφορὰς ἐν τῇ ἐμῇ ἐπανεκδόσει περὶ τὴν στίξιν καὶ τὴν κεφαλαιογράφησιν ἢ μὴ λέξεών τινων, δι' ὧν πολλαχῶς ἐπανορθοῦται τὸ κείμενον, ὑπέλαβον περιττὸν νὰ ὑποσημειώσω.**

3. δοῦκαν ἔγραψα: δούκαν Δ: Δούκαν Μ 10. ἐκκλησίαις Μ: **ἐκκλησίας Δ**

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2007

αὐτοῦ καὶ ἡμῶν πάντων τῶν τοὺς τοιούτους διδασκάλους μετιόντων, ἀλλὰ καὶ τῶν πρὸ ἡμῶν σοφῶν τε καὶ ἁγίων ἀνδρῶν ἀγροικίαν, ὧν ἐνίους τοῖς παλαιοῖς ἐκείνοις φωστῆρσιν ἴσους ἐγώ τε καὶ πᾶς τις εὖ φρονῶν θείη δικαίως, εἰ μήτε τῆς φωνῆς ἢ τῆς θεολογίας, μήτε τοῦ σκοποῦ ἐπαΐειν οἷοί τε ἐγένοντο, ἢ οὐκ ἠθέλησαν, ὃ καὶ χεῖρον, ἀλλ' αὐτοὶ ἑαυτοῖς ἀπωλείας αἴτιοι ψυχικῆς καὶ πᾶσιν ἡμῖν τοῖς ἐφεξῆς εἵλοντο γεγονέναι, ὃ τίς ἀλάστωρ καὶ βάσκανος ἢ μᾶλλον εἰπεῖν φρενῶν ἐκπεπτωκέναι νεανιεύσαιτο;

Ὡς ἐμοί τε τοῦτο τὸ δέος ἠνώχλει τὰ μάλιστα καὶ ἠνία τὴν ψυχήν, δύνασθαί τινας λέγοντας ἀποδεῖξαι τὴν λατινικὴν δόξαν ἐν τοῖς ἁγίοις πυθομένῳ, μᾶλλον δὲ διατεινομένους καὶ οὕτως ἔχει φάσκοντας τἀληθές, ἡμᾶς δὲ μὴ ἐπαΐειν ἀλογίᾳ τε φερομένους καὶ ἄλλοις πάθεσιν, ὥστε καὶ τῇ μὲν ἐμαυτοῦ περὶ τῶν τοιούτων εἰδήσει, ἥνπερ ἐκ πολλοῦ τοῖς τοιούτοις ἐκμελετῶν συνειλόχειν, μὴ πιστεύειν, τὰς δὲ τῶν ἄλλων, ὅσοι περὶ τῶν τοιούτων διαλέγονται ὑποτοπάζειν· καὶ ὡς εἰπεῖν δέος ἐδεδίειν οὐ μικρὸν, εἰ οὕτω μὲν ὡς αὐτοὶ λέγουσιν ἔχει, τῷ δὲ μὴ δύνασθαι μὲν αὐτὸς οἴκοθεν νοῆσαι, ἑτέροις δ' ἕπεσθαι οὐκ ὀρθῶς ὑφηγουμένοις ἔξω τοῦ ὀρθοῦ φρονήματος εὑρεθείην καὶ ἐν τῷ μεγίστῳ πλανώμενος. Ἀλλὰ νῦν ἐν τούτοις πᾶσαν τὴν τοῦ λόγου ἰσχὺν θεασάμενος καὶ τὴν ἐλπίδα τῆς τῶν ἐκκλησιῶν ἑνώσεως ἐπὶ τούτων σαλεύειν κατανοήσας, ἐπεὶ καὶ διὰ τοῦτο ἡγοῦνταί τινες τοὺς σοφωτέρους ἐπισπάσεσθαι· τοὺς γὰρ μὴ τοιούτους καὶ εὐληπτοτέρους ἴσως εἶναι πιστεύουσιν· ἐθαυμάσαμεν ὅπως σοφοὶ ἄνδρες, νοῦ τε καὶ παιδείας εὖ ἔχοντες καὶ πείρᾳ θεολογίας προβεβηκέναι δοκοῦντες, τοιούτοις τισὶ τὴν πίστιν καὶ τὴν τῶν πατέρων θεολογίαν κρίνειν καὶ ταλαντεύειν πειρῶνται, ἢ αὐτοὶ σφᾶς αὐτοὺς ἀπατῶντες ἢ ἄλλους ῥᾳδίως ὑπ' αὐτῶν τοῦτο πείσεσθαι νομίζοντες. Ἀπήλλαγμαι δ' ὡς ἔφην καὶ τοῦ δέους, βέλτιον τῇ πατρίῳ δόξῃ στηριχθείς. Πέφυκε

7. ὃ τίς ἔγραψα: ὅ τὶς Δ: ὅ τις Μ  8. νεανιεύσαιτο; ἔγραψα: νεανιεύσαιτο. ΔΜ  10. δύνασθαί τινας Μ: δύνασθαι τινὰς Δ  22. ἡγοῦνταί τινες Μ: ἡγοῦνται τινὲς Δ

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

γάρ πως τὰ τῶν ἐναντίων ἐλεγχόμενα τοὺς τούτοις διαφερομένους βεβαιοτέρους ἢ καὶ γενναιοτέρους ποιεῖν.

Καὶ ὁ μὲν οἱουδήτινος ἁπτόμενος ἐλέγχου δόξειεν ἂν ἴσως ἐνισχημένος τινὶ πάθει τοῦτο ποιεῖν, ἐφ' ᾧ τὰ μὲν καλῶς ἔχοντα διαστρέφειν καὶ παρερμηνεύειν, τοῖς δὲ σαθροτέροις ἐπιφύεσθαι καὶ πρὸς τοῦτο μόνον τείνειν τὸν σκοπὸν, ὅπως ἱκανῶς δόξειε τὸ ἀνταγωνιστὸν ἑλὼν, ἐγὼ δὲ τοῦτο ἐν οἱῳδήτινι πράγματι ἀπεικὸς εἶναι νομίζων καὶ ἄδικον· τῆς γὰρ ἀληθείας ἐστὶ κατάγνωσις καὶ τῆς συνειδήσεως φθορὰ, οὐχ ἥκιστά γ' ἐν οἷς περὶ πίστεως γίγνονται λόγοι καινοῦ τινὸς πράγματος καὶ μεγίστου καὶ κεφαλαίου τῶν πάντων· ἀνόσιον ἡγοῦμαι τοῦτο καὶ ἀσεβὲς, μὴ ἀπαθεῖ καὶ καθαρῷ νοὶ τὰ περὶ τούτων καταστοχάζεσθαι, ἀλλὰ πρὸς ἔριν ἢ φιλονεικίαν ἢ ἄλλο τι τῶν ἀνθρωπίνων τοὺς λόγους ποιεῖσθαι. Τῷ τοι καὶ τὴν ἀλήθειαν αὐτὴν ἐν τούτοις μαρτύρομαι, ὡς ὅσα μοι καθαρῶς ὑπαγορεύει τὸ συνειδὸς, ἀφ' ὧν ἔχω μαθὼν πρὸς τῶν προηγησαμένων σοφῶν καὶ ἁγίων ἀνδρῶν καὶ τῶν κοινῶν τῆς εὐσεβείας διδασκάλων καὶ τῶν ἀρχῶν τῆς πίστεως, λέξων ἔρχομαι ἤ, μᾶλλον εἰπεῖν, οὐδ' ἐξ οἰκείου δικαστηρίου τὴν ψῆφον αὐτὸς οἴσω· παραθεὶς δὲ μόνον ταῦτα ταῖς τῶν ἁγίων γραφαῖς, τόν τε νοῦν τούτων τῷ ἐκείνων παρεξετάσας, δικαστὰς τοὺς εὐγνώμονας καὶ ἀπαθῶς τὰ παρόντα διελευσομένους προστήσομαι, οὓς καὶ ἀξιῶ μὴ τῇ λέξει προσέχειν ἀφελῶς ἔχουσαν, τὸν δὲ νοῦν ἐξετάζειν καὶ τὴν ἀλήθειαν ἐπιζητεῖν.

Τῶν μὲν εἰς τὸν ἐνδοξότατον μέγαν δοῦκαν ἐγκωμίων κἀγὼ χάριν ὁμολογῶ σὺν πᾶσι τοῖς ἄλλοις αὐτῷ· κοινῇ τε γὰρ ἅπαντες ὀφείλομεν τὰς χάριτας τῷ τοιούτῳ ἀνδρὶ, προθύμῳ τε ὄντι περὶ τὰ κοινὰ καὶ ἐπωφελῆ, καὶ ἰδίᾳ ἕκαστος διὰ τὴν πρὸς ἕκαστον εὔνοιαν αὐτοῦ, κοινὸν πρυτανεῖον ἑαυτὸν ἀγαθοῦ καὶ πάσης χρείας

7. ἑλὼν Μ: ἐλὼν Δ 13. ἄλλο Μ: ἄλλό Δ 22. Τὸ ἔχουσαν ἐγράφη πιθανώτατα οὕτως ἀντὶ τοῦ ἐχούσῃ ὑπ' αὐτοῦ τοῦ Ἀγαλλιανοῦ 24. δοῦκαν ἔγραψα: δούκαν Δ: Δούκαν Μ κἀγὼ Μ: κᾀγὼ Δ

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

καὶ βοηθείας ἑκάστου παρασχομένῳ. Τὰ δὲ κατ' αὐτοῦ ταῦτα ἐγκώμια ἀντὶ πολλῶν καὶ μεγάλων τῶν προςηκόντων αὐτῷ βραχέα καὶ αὐτὸς εἶναι ὁμολογῶ, καὶ ἀνθρώπου πεφεισμένως ἄγαν καὶ ἄκροις ὡς εἰπεῖν δακτύλοις τούτων ἀψαμένου, τῷ βραχυτάτῳ τὸν ἐνεστηκότα ξυγχωρεῖσθαι χρόνον καὶ τῷ μήπω τὸν καιρὸν ἥκειν τῶν ἐγκωμίων τῶν τελεωτέρων ἴσως· τοῖς γὰρ ἀγαθοῖς ἅπας ἀνεῖται καιρὸς εἰς ἔπαινον. Τὸ δὲ χάριεν τῶν αὐτοῦ καλῶν, τὸ μὴ μόνον ἐφιστάνειν τοῖς δόγμασιν οἷόν τε ὄντα, ἀλλὰ καὶ τοῖς ἄλλοις ἀνακοινοῦσθαι περὶ τούτων, οὐ μόνον οἷς σύνοιδεν ὑγιῶς φρονεῖν, ἀλλὰ καὶ τοῖς μὴ οὕτως ἔχουσιν, ἵν' ἐκ πάντων τὸ καλὸν κατὰ τὴν σοφὴν μέλιτταν ἀναλέγοιτο, οὐ χάριεν αὐτὸς ἂν φαίην, ὡς ἄν τις εἴποι, ἀλλὰ γενναῖον καὶ θαυμαστὸν καὶ λογίας ὄντως ἴδιον ψυχῆς. Ὅθεν καὶ τὰ περὶ τούτων ἀφειμένῳ ἰτέον ἤδη μοί ἐστι πρὸς τὰ θεολογικώτερα, οὐ περιέργως τοῦτο ποιοῦντι οὔτε νῦν οὔτ' ἄλλοτε· προὔργου γὰρ τοῦτό γε τυγχάνον πάντως· οὔτ' ἀμελῶς εἴπερ γὰρ ἄλλο τι τοῦτο προσοχῆς τελείας ἄξιον, εἰ μή που περιέργως θεολογεῖν καὶ περιεργότερον ἔτι θεολογήσειν εἴποι τις τὸν μηδὲν ἀναγκαῖον λέγοντα ἢ ἐροῦντα καὶ τῆς ἱερᾶς θεολογίας ἄξιον. Τί οὖν φησι τὰ τῆς θεολογίας;

### ΑΡΓΥΡΟΠΟΥΛΟΣ

Τριῶν ὄντων ἐν τοῖς θείοις προσώπων κατὰ τὰς θεολογικὰς ὑποτυπώσεις καὶ ἀρχάς, πατρός, υἱοῦ τε καὶ θείου Πνεύματος, ἡνωμένων μὲν τῇ οὐσίᾳ, διακρινομένων δὲ ταῖς ἰδιότησι χρήματι.

### ΑΓΑΛΛΙΑΝΟΣ

Ὁ μὲν θεμέλιος ὡς εὐσεβὴς καὶ ἀληθὴς καὶ θεολογικώτατος

5. ξυγχωρεῖσθαι ἔγραψα: ξυγχωρῆσθαι ΔΜ  15. τυγχάνον Μ: τυγχάνων Δ  17. θεολογήσειν Μ: θεολογήσων Δ  τις Μ: τὶς Δ  19. φησι Μ: φησὶ Δ

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

ἀρχή τε καὶ ὑπόθεσις τῆς πίστεως ἀληθεστάτη, εἰ καὶ τὰ ἐποικοδομούμενα αὐτῷ σύμφωνα τοῖς τῶν ἀρχιτεκτόνων καὶ οἷς ἕπεσθαι προστετάγμεθα ἐπιτεθείη. Διακρίνεσθαι γάρ φησι τὰ θεῖα πρόσωπα ταῖς ἰδιότησι. Καλὸν οὖν πυθέσθαι πρὸς τῶν θεολόγων πατέρων τίσιν εἰσὶν αἱ τῶν προσώπων ἰδιότητες, αἵ καὶ διακρίνουσι τὰ πρόσωπα καὶ οὐδὲ μεταπίπτειν πεφύκασιν· ἀμιγεῖς τε καὶ ἀκοινώνητοι κατονομάζονται. Λυδία γάρ τις ἂν εἴη πρὸς τὰ ἑξῆς τό τε κίβδηλον ἐμφαίνουσα καὶ τὸ εἰλικρινές. Εἰ γὰρ τηρήσει τὴν θέσιν, τὴν ἀρχὴν καὶ τὸ αἴτιον ἔνδον ἐν τῇ θεότητι, ὡς ἰδιότητα τοῦ πατρὸς αὐτῷ μόνῳ φυλάξει· εἰ δὲ κοινὰ νομοθετήσει πατρὶ καὶ υἱῷ, πάντως τὰς θεολογικὰς ὑποτυπώσεις παρασαλεύσει.

Αὐτίκα γὰρ ὁ Θεολόγος Γρηγόριος «Αἱ ἰδιότητες, φησί, πατρὸς μὲν καὶ ἀνάρχου καὶ ἀρχῆς ἐπινοουμένου καὶ λεγομένου». Καὶ ὁ ἱερὸς Διονύσιος «Μόνη πηγὴ τῆς ὑπερουσίου θεότητος ὁ πατήρ». Καὶ Κύριλλος «Εἰ γνώρισμα τῆς τοῦ πατρὸς ὑποστάσεως ἡ καρπογονία, εἴτουν θεογονία, φυσική τις ἐστὶ πάντως ἰδιότης αὐτοῦ». Καὶ ὁ μέγας Βασίλειος «Ἴδιον τοῦ πατρὸς ἡ ἀγεννησία καὶ τὸ καλεῖσθαι πατήρ». Ὅπερ ἀναπτύσσων ὁ Γρηγόριος «Τοῦτό ἐστι, φησίν, ὁ πατήρ, γεννήτωρ καὶ προβολεύς. Ἴδιον δὲ τοῦ υἱοῦ τὸ καλεῖσθαι υἱόν, καὶ τὸ γεννᾶσθαι ἐκ τοῦ πατρός. Ἴδιον δὲ τοῦ Πνεύματος τὸ καλεῖσθαι Πνεῦμα ἅγιον καὶ ἐκ τοῦ πατρὸς ἐκπορεύεσθαι». Ἀλλὰ ταῦτα μέν, ὡς ἔφην, κείσθησαν ὡσανεί τις γνώμων καὶ κανών, παρ' οὗ τῶν ἐφεξῆς αὐτοῦ συμπεραινόντων κατάδηλον ἔσται τὸ ἐφαρμόζον. Τί δὲ τὰ ἐφεξῆς;

ΑΡΓΥΡΟΠΟΥΛΟΣ

Παράγει μὲν τὸ ἓν ὁ πατήρ, παράγεται δὲ τὰ δύο, υἱός τε καὶ Πνεῦμα ἅγιον.

4. πυθέσθαι Μ : πύθεσθαι Δ    7 8. τό τε Μ : τότε Δ
19. τοῦτό ἐστι Μ: τοῦτο ἐστὶ Δ    23. παρ' Μ: πάρ' Δ

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2007

ΑΓΑΛΛΙΑΝΟΣ

Τίνος τῶν θεολόγων ἀκήκοας, ἄνθρωπε, ταύτῃ τῇ λέξει χρησαμένου, τῷ *παράγει;* Ταύτῃ γὰρ οὐ μόνον τὸ Πνεῦμα τὸ ἅγιον, ἀλλὰ καὶ τὸν μονογενῆ κτίσμα φρονεῖν δοκεῖς. Ἢ ἀγνοεῖς, ὅτι τὸ παράγειν, ἐν τοῖς τοιούτοις λεγόμενον, τὸ ἔξω ἑαυτοῦ καὶ τῆς φύσεώς τι ποιεῖν ἔστι τὸν θεόν, ὡς ἡ λέξις ἐμφαίνει; Παράγει γάρ, φησι τὰ σύμπαντα· καί, Παρήγαγε τὸν κόσμον ἀπὸ τοῦ μὴ ὄντος. Διὸ καὶ οἱ διδάσκαλοι τῆς ἐκκλησίας τῷ *προάγει* καὶ τῷ *πρόεισι* μᾶλλον ἐχρήσαντο ἐπὶ τῆς ἔνδον θεολογίας. Τῇ γὰρ τοιαύτῃ προθέσει μᾶλλον ἔγνωσαν τὴν τῶν ἐνδοτέρων γίνεσθαι προόδων ἔμφασιν. Ἠκριβωμένας δὲ δήπου καὶ τὰς λέξεις εἶναι δεῖ τῶν θεολογούντων, ἵνα μήθ' ἑκόντες μήτ' ἄκοντες κακὴν δόξαν περὶ σφῶν αὐτῶν παράσχωσι καὶ ὧν προὔθεντο.

ΑΡΓΥΡΟΠΟΥΛΟΣ

Οὔτε γὰρ ἀφ' ἑαυτῶν ἔδει ταῦτα εἶναι, ἵνα μὴ ἑτερότης γένηται φύσεως, οὔτ' ἐξ ἀλλήλων παράγεσθαι οἷς αὐτό τι ἑαυτὸ παράγειν ἀμήχανον.

ΑΓΑΛΛΙΑΝΟΣ

Καὶ τοῦτο, οἶμαι, ἀτέχνως ἅμα καὶ περιττῶς εἴρηται. Ἔδει γὰρ μᾶλλον εἰπεῖν, ὡς οὔτ' ἀφ' ἑαυτῶν ἔδει ταῦτα εἶναι οἷς αὐτό τι ἑαυτὸ προάγειν ἀμήχανον, καὶ ἅμα ἵνα μὴ ἑτερότης γένοιτο φύσεως, οὔτ' ἐξ ἀλλήλων προϊέναι, ἵνα μὴ ἐξ ἀλλήλων αἱ ἀρχαὶ εἶεν, καὶ οὕτως οὐδεμία εἴη ἀρχή, μηδενὸς ὄντος ἀγεννήτως καὶ

**5-6. φύσεώς τι Μ: φύσεως τὶ Δ  6. γάρ φησι Δ: γὰρ φησὶ Μ**
**16. αὐτό τι Μ: αὐτὸ τὶ Δ  20. αὐτό τι Μ: αὐτὸ τὲ Δ**

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

ἀναιτίως, εἰ καὶ οὕτω χριστιανικώτατον ὄν, καὶ οὔτ' ἐξ ἀλλήλων, οὔτ' ἐξ ἑαυτῶν εἶναι ταῦτά φαμεν, οὕτω τῆς Γραφῆς διδασκούσης. Καὶ γὰρ Γρηγόριος ὁ θεῖος, πολὺ βελτίων ὢν θεολόγος, Διὰ τοῦτο ἐπὶ τῶν ἡμετέρων ὅρων ἱστάμενοι, φησί, τὸ ἀγέννητον εἰςάγομεν, καὶ τὸ γεννητὸν καὶ τὸ ἐκ τοῦ πατρὸς ἐκπορευόμενον, ὥς που φησιν αὐτὸς ὁ Θεὸς Λόγος. Τῷ γὰρ τῆς Γραφῆς ἐρείδεται ἀξιώματι καὶ τοῖς ἐκεῖθεν πεπηγόσιν ὅροις ἐμμένειν φησίν, οὗ δὴ καὶ τὸ ἐκ πατρὸς ἐκπορευόμενον προστεθεικὼς πᾶσαν κακοφωνίαν τῶν τοὺς ὅρους τούτους παρεξιόντων ἀνεῖλεν.

ΑΡΓΥΡΟΠΟΥΛΟΣ

Ἓν οὖν φησι δι' αὐτὸ τό γε παράγον, τὰ δὲ λοιπὰ παραγόμενα.

ΑΓΑΛΛΙΑΝΟΣ

Καλῶς ἔχει τοῦτο πλὴν τῆς λέξεως, εἰ μέχρι τούτου σταίης· εἰ γὰρ ἕν ἐστι τὸ προάγον ἐν τοῖς τρισί, τοῦτο δ' ἐστὶν ὁ πατήρ, καὶ μόνος, εἴπερ ἕν, οὐκ ἄρα ὁ υἱός, οὐδὲ μετὰ τοῦ υἱοῦ ὁ πατήρ. Τὸ δ' αὐτὸ καὶ ἐπὶ τῶν προϊόντων· δύο εἰσὶ τὰ προϊόντα, ὁ υἱὸς καὶ τὸ Πνεῦμα· οὐκ ἄρα ὁ υἱὸς προάγει. Τοῦτο καὶ Γρηγορίῳ δοκεῖ τῷ Θεολόγῳ ἐν τοῖς πρὸς Ἥρωνα λέγοντι· Ἀληθῶς πατέρα τὸν πατέρα, ὅτι μόνως· ἰδιοτρόπως γάρ· καὶ μόνος· οὐ γὰρ μετὰ συζυγίας· καὶ μόνου· μονογενοῦς γάρ· καὶ μόνον ἀληθῶς υἱὸν τὸν υἱόν, ὅτι μόνος καὶ μόνου καὶ μόνως καὶ μόνον· εἰ γὰρ πατήρ, καὶ ὅλον υἱός. Εἰ οὖν μόνως πατὴρ ὁ πατὴρ καὶ οὐ μετὰ συζυγίας· τοῦτο δ' ἐστὶν ὁ πατήρ, γεννήτωρ καὶ προβολεύς· καλῶς

1. εἰ ἔγραψα: ἢ ΔΜ 2. ταῦτά φαμεν Μ: ταῦτα φαμὲν Δ 3. βελτίων Μ: βέλτιων Δ 4. φησὶ Μ: φησὶν Δ 7. φησὶν Μ: φησὶ Δ 11. φησι Μ: φησὶ Δ 14. ἔστι Μ: ἐστὶ Δ ἐστὶν Δ: ἔστιν Μ 22-23. Μετὰ τὸ συζυγίας κενὸν Δ:..... Μ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΑΝ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

ἂν εἶχέ σοι μέχρι τούτου στῆναι καὶ τοῖς ὅροις τούτοις ἐμμένειν. Σὺ δὲ προϊὼν τὴν καινὴν μίξιν ἐπινοήσεις, τὸ γεννητοαγέννητον καὶ τὸ αἰτιατοαίτιον ἢ, κατὰ σὲ φάναι, παραγομενοπαράγον, ὅταν ὃν φὴς παράγεσθαι συμπαράγειν νουθετήσεις τὸ συμπαραγόμενον πρόσωπον, τέρατά τινα παραδιδοὺς καὶ θεολογίαν ἀνήκουστον. Ἀλλ' ἀποτρέπει σε Ἀθανάσιος ὁ μέγας ἐν τῷ περὶ ἀϊδίου ὑπάρξεως λέγων «Ἔσται τὸ αὐτὸ αἴτιον καὶ αἰτιατόν, γεννῶν καὶ γεννώμενον, ὅπερ ἄτοπον» καὶ ὁ Θεολόγος, καινὴν μίξιν ὀνομάζων τὸ γεννητοαγέννητον. Τί γὰρ ἐν τῷ μέλιτι κρύπτεις τὸ δηλητήριον, ἀλλ' οὐκ εὐθὺς ἀνακαλύπτεις; Ἔδει γάρ σε λέγειν μᾶλλον εὐθὺς ἓν μὲν εἶναι τὸ παράγον, ἓν δὲ τὸ παράγον καὶ παραγόμενον, ἓν δὲ τὸ παραγόμενον μόνον, ὡς ἐκ τῶν λόγων σου φανήσῃ φρονῶν. Ἀλλ', ὡς ἔοικε, τὸ μὲν ἀληθῆ που τιθέναι θεμέλιον ἐκ τῆς ἀνάγκης τῆς ἀληθείας ἐστί, τὸ δὲ σύμφωνα ἢ μὴ τοιαῦτα ἐποικοδομεῖν τῆς ἡμετέρας ἐν τοῖς τοιούτοις πείρας ἢ προαιρέσεως. Τί τὸ ἐντεῦθεν;

### ΑΡΓΥΡΟΠΟΥΛΟΣ

Παράγων δὲ ὁ πατὴρ παρακτικὰς δήπουθεν ἕξει δυνάμεις, διακρινομένας πως καὶ αὐτὰς οἷς δι' αὐτῶν διακρινόμενα παράγεται πρόσωπα, τὴν μὲν ᾗ τὸν υἱόν, τὴν δ' αὖ πάλιν ᾗ παράγει τὸ Πνεῦμα τὸ ἅγιον.

### ΑΓΑΛΛΙΑΝΟΣ

Τοῦτό ἐστιν ὁ θεμέλιος τῆς καινοτομίας τῆς τῶν ἁγίων θεολογίας. Τίς γάρ ποτε τῶν θεολόγων εἴρηκε προσεῖναι τῷ πατρὶ

1. εἶχέ **Μ**: εἶχε **Δ** 3. παραγομενοπαράγον **ἔγραψα**: παραγομενοπαράγων **ΔΜ** 4. φὴς **Δ**: φῇς **Μ** 9 (**καὶ** 16). τί **Μ**: τὶ **Μ**
12. φανήσῃ **ἔγραψα**: φανήσει **ΔΜ** 23. τοῦτό ἐστιν **Μ**: τοῦτο ἐστὶν **Δ** θεολογίας **Μ**: θεολγίας **Δ**



Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

δυνάμεις παρακτικὰς ἐν αὐτῷ διακρινομένας, δι' ὧν προάγει τὰ θεῖα πρόσωπα; Οὐδεὶς δήπου. Τῆς δὲ καινοτέρας ταύτης θεολογίας ἐστὶν εὕρημα καὶ ὡςανεὶ θεμέλιος τοῦ δόγματος τούτου τοῦ καινοῦ, προϋποτιθέντων τῶν τοῦτο κατασκευαζόντων ἐν τῷ πατρὶ ταύτας ἃς αὐτοὶ λέγουσι δυνάμεις παρακτικάς, τάξει τινὶ προςούσας αὐτῷ, ὥςτε τὴν μὲν εἶναι προτέραν δεῖν, τὴν δὲ δευτέραν, ἵν' οὕτω προάγοιντο καὶ τὰ θεῖα πρόσωπα, προλαμβανούσης δῆλα δὴ τῆς γεννητικῆς δυνάμεως καὶ ὑφεστώσης τὸν υἱόν, ἵνα φθάσῃ συμπροάγειν τῷ πατρὶ τὸ θεῖον Πνεῦμα, κοινοποιουμένης τῆς ἑτέρας παρακτικῆς δυνάμεως, τῆς λεγομένης προβλητικῆς, τῷ υἱῷ, τῷ φθάσαι ταύτην λαβεῖν ἐν τῷ γεννᾶσθαι, τοῦ δὲ Πνεύματος ἀποκλειομένου τῷ λαχεῖν ὑστερογενεστέρας δυνάμεως τῆς παραγούσης αὐτὸ καὶ διὰ τοῦτο μὴ ἔχοντος δύναμιν παρακτικὴν κατὰ τὸν υἱὸν καὶ τὸν πατέρα, ἀλλὰ κατ' αὐτὸ τοῦτο ἐλλιποῦς ὄντος. Ἃ πόσης ἔχονται βλασφημίας, πάντες ἂν εἰδεῖεν οἱ καὶ μετρίαν ἐν τοῖς τοιούτοις εἴδησιν ἔχοντες. Ἀλλ' ἔδει δήπου ταύτας τὰς δυνάμεις καὶ προςειπεῖν ἢ οὐσιώδεις καὶ φυσικὰς ἢ ὑποστατικάς. Οὕτω γὰρ μεμαθήκαμεν πρὸς τῆς ἱερᾶς θεολογίας πάντων τῶν ἐπιθεωρουμένων ἢ λεγομένων ἐν τῇ ὑπερουσίῳ Τριάδι τὰ μὲν οὐσιώδη εἶναι, τὰ δὲ ὑποστατικά· καὶ τὰ μὲν ἀπὸ τοῦ λόγου τῆς οὐσίας ἀνίσχοντα κατηγορεῖσθαι καὶ τῶν τριῶν προσώπων· ὅσα γάρ φησιν ὁ ἱερὸς Διονύσιος ἐπὶ τοῦ πατρὸς καὶ αὐτοῦ, ἤτοι τοῦ υἱοῦ, τῷ θεαρχικῷ Πνεύματι κοινωνικῶς καὶ ἡνωμένως ἀνατίθησι τὰς θεουργίας, τὸ σέβας, τὴν πηγαίαν καὶ ἀνέκληπτον αἰτίαν καὶ διανομὴν τῶν ἀγαθῶν δώρων· καὶ οὐδένα τῶν τοῖς θείοις λόγοις ἀδιαστρόφοις ἐννοίαις ἐντεθραμμένων οἶμαι πρὸς τοῦτο ἀντερεῖν, ὅτι τὰ θεοπρεπῆ πάντα τῇ ὅλῃ θεαρχίᾳ πρόςεστι κατὰ τὸν θεοτελῆ λόγον· ὅσα δὲ ταῖς ὑποστάσεσι προςήκει ἢ τοιαῖςδε ὑποστάσεσιν ἀκοινώνητα παντάπασιν εἶναι καὶ ἀμιγῆ ὡς ἰδιότητας, οὐδεμιᾶς ἐν τούτοις ἀντιστροφῆς ἢ ὅλως κοινότητος

7. δῆλα δὴ ἔγραψα: δηλαδὴ ΔΜ    13. αὐτὸ ἔγραψα: αὐτῷ ΔΜ
14-15. ἐλλιποῦς Μ: ἐλιποῦς Δ

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

ἐπειςαγομένης, φησὶν ὁ αὐτὸς Διονύσιος· πῶς γὰρ ἂν καὶ μείνῃ ἰδιότης κινουμένη καὶ μεταπίπτουσα; Μέσον δέ τι τούτων ἡμῖν οἱ θεολόγοι τῆς ἐκκλησίας οὐ παρέδωκαν, ἀλλ' ἡ καινὴ αὕτη θεολογία ἑκατέρωθεν ὁρῶσα ᾧ περιπίπτει, εἰ καὶ μὴ ὁμολογεῖ ἢ μὴ νοεῖ, ἵνα μὴ ἑτεροούσιον ἀποφήνῃ τὸ Πνεῦμα, εἰ οὐσιώδεις εἴποι τὰς δυνάμεις ταύτας, μὴ μετέχον καὶ αὐτὸ τοιαύτης τινὸς παρακτικῆς δυνάμεως, μήτε τῇ δυαρχίᾳ περιπέσῃ τῷ ὑποστατικὰς αὖ προςειπεῖν, ὥςπερ ἐν μεταιχμίῳ ἵστησιν ταύτας, ἀλλ' οὐδέτερον αὐταῖς προςμαρτυρεῖ, ἕως ἂν ἀρχὰς ὀνομάσῃ καὶ γονιμότητας κοινὰς πατρὶ καὶ υἱῷ, οὐ μὴν καὶ τῷ Πνεύματι, ἐναντίως καὶ τοῦτο τοῖς διδασκάλοις, τὰ κοινὰ πατρὶ καὶ υἱῷ κοινὰ καὶ τῷ Πνεύματι λέγουσιν.

### ΑΡΓΥΡΟΠΟΥΛΟΣ

Ἢ κοινὰς μὲν καὶ τῷ Πνεύματι, ἀλλ' ἐν ἐκείνοις μὲν μετὰ τῆς ἐνεργείας, ἐν τούτῳ δὲ δίχα ἐνεργείας.

### ΑΓΑΛΛΙΑΝΟΣ

Τί τούτου τερατωδέστερον ἤκουσεν ἄνθρωπος;

### ΑΡΓΥΡΟΠΟΥΛΟΣ

Ἀρχὰς δέ φησι καὶ γονιμότητας μήτε παραγούσας μήτε παραγομένας· ἑκάτερον γὰρ ὑποστάσεως ἴδιον.

### ΑΓΑΛΛΙΑΝΟΣ

Καὶ τίς ἡ πολλὴ σπουδὴ δυνάμεις ἐπινοεῖν καὶ ἀρχὰς αὐτὰς ὀνομάζειν καὶ γονιμότητας καὶ ὅσα μηδεὶς τῶν θεολόγων ἐτόλμησεν, εἴπερ ἴδιον ὑποστάσεως τὸ προάγειν ἢ προϊέναι; Καὶ

1. μείνῃ Μ: μείνη Δ. Οὕτως ἔγραψε πιθανώτατ' ἀρχῆθεν αὐτὸς ὁ Ἀγαλλιανός 9. ὀνομάσῃ Μ: ὠνομάση Δ 11. τοῦτο ἔγραψα: τούτῳ ΔΜ 22. τίς Μ: τὶς Δ

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

πῶς οὐ τοσαῦται ἀρχαί, ὅσαι καὶ ὑποστάσεις αἱ προάγουσαι; Ἢ τίνα δύναμιν ἔχουσιν αἱ ἐξευρημέναι αὗται δυνάμεις τὰς ὑποστάσεις ἀμέμπτως συναλείφειν, ἣν οὐ Σαβέλλιος ἐξευρεῖν δεδύνηται, ἐφ' ᾧ καὶ ἀθῶος γενέσθαι τοῦ κατακρίματος; Τρόπον οὖν ἄλλον ἡμῖν παραδίδωσιν ἡ τοιαύτη τῶν δυνάμεων ἐπίνοια καινότερον καὶ ἀνήκουστον τοῖς ἁγίοις, ὡς ἂν εἴποι τις γεννηθέντα τὸν υἱὸν διὰ τῆς μιᾶς δυνάμεως τοῦ πατρός, εἶτα, δραξάμενον καὶ τῆς ἑτέρας αὐτοῦ, δι' αὐτῆς μετὰ τοῦ πατρὸς προάγειν τὸ Πνεῦμα τὸ ἅγιον, ὑστερίζον κατὰ γένεσιν, μηδὲ μετέχον τινὸς τῶν δυνάμεων, ὥςπερ λόγῳ μόνῳ ἀρκοῦν τὸ συναΐδιον καὶ τὸ ἄχρονον καὶ τὸ οὐδέτερον ἑτέρου λέγεσθαι, μὴ σκοπῶν δὲ ὅπως καὶ ἀπὸ τῶν θέσεων ταῦτα ἐμφαίνοιντο, συμφωνουσῶν τοῖς λόγοις, ἀλλὰ τοὐναντίον μᾶλλον αὐταῖς συμπεραίνεσθαι.

Δυνάμεις δὲ διακρινομένας εἰπόντα, καὶ τὸν τρόπον ἔδει προςθεῖναι τῆς διακρίσεως. Εἴχομεν γὰρ ἂν ἐπιγινώσκειν αὐτὸν ἐν τίνι γένει διακρίσεως τὴν τῶν δυνάμεων διάκρισιν τίθησιν, ὡς ἔκ γε τοῦ λόγου πραγματικῶς αὐτὰς διακρίνειν. Δι' αὐτῶν γάρ φησι διακρινόμενα πρόςωπα παράγεται. Ἴσως οὖν ἐοικέναι βούλοιτ' ἄν, ὡς τῷ διακεκρίσθαι, οὕτω καὶ τῷ τρόπῳ τῆς διακρίσεως, ἐπεὶ καὶ προεπινοεῖ τὴν γεννητικὴν τῆς προβλητικῆς, ὡς καὶ ἐκεῖ προτέραν οὖσαν δήπου, ὡς τὸ γεννητὸν τοῦ ἐκπορευτοῦ λέγει πρότερον. Εἰ δ' ἄλλο τι βούλοιτο λέγειν, ὀλίγον τῷ λόγῳ βοηθήσει. Ἀρχὰς δέ φησιν οὔσας τε καὶ δυνάμεις καὶ γονιμότητας.

Παραχθήτω τις τῶν ἁγίων ταῦτα λέγων καὶ ἀρχὰς καὶ γονιμότητας. Ἀλλ' οὐκ ἔστιν· αὐτὸς δὲ προϊὼν ὥςπερ ἐκ μεταμέλου τὴν τοῦ πατρὸς οὐσίαν εἶναι φήσει τὴν ἀρχὴν καὶ τὴν δύναμιν τῆς παραγωγῆς τῶν θείων προσώπων. Εἶθ' ὥςπερ τοὺς θεολόγους

2. ἔχουσιν ἔγραψα: ἔχουσαι ΔΜ 3. συναλείφειν Μ: συναλλοίφειν Δ ἐξευρεῖν Μ: ἐξευρῶν Δ 5-6. καινότερον Μ: καινοτέραν Δ 6. τις Μ: τὶς Δ 9. μηδὲ Μ: μὴδὲ Δ
17. γάρ φησι Δ: γάρ, φησί, Μ 18. βούλοιτ' Δ: βούλοιτο Μ
22. βούλοιτο Μ: βούλοι το Δ

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

δεδιώς, μήτε προάγειν μήτε προϊέναι τὴν οὐσίαν φάσκοντας, ξυνεῖναι φήσει τῇ οὐσίᾳ, καὶ ἄλλ' ἄττα τὴν διαφορὰν ποιοῦντα τῶν δυνάμεων.

### ΑΡΓΥΡΟΠΟΥΛΟΣ

Ταῦτα δὲ νοῦς ἂν εἶεν καὶ βούλησις.

### ΑΓΑΛΛΙΑΝΟΣ

Οὐκ οἶδ' ἐξότου τοῦτο λαβών· εἰ μὲν γὰρ ταὐτὸν βούλεται τὴν δύναμιν εἶναι καὶ τὴν οὐσίαν, καὶ οὐσίας ἐρεῖ τὴν μίαν οὐσίαν, ὥςπερ καὶ ἀρχὰς καὶ δυνάμεις οὔσας καλεῖ· εἰ δὲ οὐ βούλεται τοῦτο, τὴν μὲν τῷ πατρὶ ὁριζομένην οὐσίαν εἶναι τὴν ἀρχὴν τῶν ἐξ αὐτοῦ προϊόντων προςώπων. Ταύτας δὲ τὰς δυνάμεις καὶ γονιμότητας, ἃς ξυνεῖναι τῇ οὐσίᾳ λέγει, καὶ νοῦν τε καὶ βούλησιν ὀνομάζει καινοτρόπως ὡς ἰδιότητας ἐπιθεωρεῖσθαι τῇ οὐσίᾳ, ἵν' αὕτη μετὰ τῆς ἰδιότητος εἴη ὑπόστασις ἀρχὴ προακτική, ἀπὸ ποίας ἀνάγκης ἀποδείξει ταύτας τὰς ἰδιότητας κοινοῦσθαι καὶ τῷ υἱῷ, τῷ Πνεύματι δὲ μή; Οἶμαι, πολλὰ καμὼν οὐ δείξει, θήσει δὲ μόνον πολλὰ σαθρὰ καὶ ἐπικίνδυνα καὶ τῇ συνηθείᾳ τῶν θεολόγων ἄγνωστα.

Γονιμότητας δέ τίς ποτε τῶν ἁγίων εἶπε; Πηγαίαν μὲν οὖν ἴσως θεότητα καὶ μόνον πηγὴν καὶ ῥίζαν καὶ αἰτίαν καὶ θεογόνον τὸν πατέρα μεμαθήκαμεν, ἑνικῶς προφερόντων ταῦτα τῶν θεολόγων τῷ μίαν γονιμότητα πάντας εὐσεβῶς τιθέναι ἐν τῷ πατρὶ καὶ μίαν προακτικὴν δύναμιν τῷ τῆς ἕξεως τρόπῳ, τῇ πρὸς τὰ προαγόμενα παραθέσει μόνον κατὰ τὸν τῆς ἐνεργείας λόγον διχαζομένην. Αὐτίκα γὰρ ὁ Ἀρεοπαγίτης λέγει· Ὡς Τριάδα δὲ διὰ τὴν τριςυπόστατον τῆς ὑπερουσίου γονιμωτάτην ἔκφανσιν,

7. ἐξότου ΔΜ. **Γραπτέον** ἐξ ὅτου; 10. ὁριζομένην Μ: ὡριζομένην Δ 26. γονιμωτάτην Μ: γονιμοτάτην Δ

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007